UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Quod Christus per fidem sit propitiatio.

**urn:nbn:de:hbz:466:1-15062**

Visual Library

ANNO CHRISTI 431.

θυγάτριον, τὸν τῆς χήρας υἱόν. εἶτα, πῶς οὐ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ μὴ μόνῳ λόγῳ καταπτοεῖν τὸν θάνατον δυνάμενος, ἀλλὰ γὰρ καὶ τῇ τῆς χειρὸς ἁφῇ; καὶ γὰρ ἦν ἀκόλουθόν τε καὶ ἀναγκαῖον, ζωοποιὸν εἶναι τὸ σῶμα τῆς κατὰ φύσιν ζωῆς.

gi quoque filiam, & viduę filium. Luc. c. 8. v. 54. & c. 7. v. 14.
Quis ergo neget, quin vita secundum naturam existat, vt qui non tantum verbo, sed suæ quoque manus contactu mortē perterrefaciat? Erat enim consentaneum, imo vero omnino necessarium, vt corpus illius esset viuificum, qui vita erat secundum naturam.

Ὅτι ἱλαστήριον διὰ πίστεως.

Ἐκ τῆς πρὸς Ῥωμαίους.

ΠΕΡΙ Χριστοῦ φησιν· ὃν προέθετο ὁ θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων· ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ, πρὸς τὴν ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ.] εἰ οὐκ ἦν ἑτέρως ἱλαστήριον γενέσθαι Χριστὸν τοῖς ἐν ἁμαρτίᾳ καὶ ἀρᾷ καὶ θανάτου δίκῃ, πλὴν ὅτι δι᾽ αἵματος διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων ἐκχεῖσθαι μέλλοντος· πῶς οὐκ ἀναγκαῖον σάρκα γενέσθαι τὸν λόγον, ἵνα καὶ αἵματι τῷ ἰδίῳ, δῆλον δὲ ὅτι τῷ τῆς ἑαυτοῦ σαρκὸς, δικαιώσῃ πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας;

## Quod Christus per fidem sit propitiatio.

*Ex epistola ad Romanos.*

QVEM (de Christo sermo est) *proposuit Deus propitiationem per fidem in sanguine ipsius, ad ostensionem iustitiæ suæ, propter remissionem præcedentium delictorum, in sustentatione Dei, ad ostensionem iustitiæ eius in hoc tempore; vt sit ipse iustus, & iustificans eum qui est ex fide Iesu Christi.* Si alia ratione illos expiare non poterat Christus, qui peccato & maledictioni & mortis supplicio obnoxii tenebantur, nisi sanguinem suum in præcedentium peccatorum remissionem profunderet; quomodo vt Verbum caro fieret, necessarium non erat? nempe quo proprio, hoc est suæ ipsius carnis sanguine omnes, qui in ipsum credituri erant, iustificaret. Rom. c. 3. v. 25.

Ὅτι λελυτρώμεθα, καὶ τὴν καταλλαγὴν πρὸς θεὸν ἐσχήκαμεν διὰ τοῦ αἵματος αὐτοῦ.

Ἐκ τῆς πρὸς Κορινθίους προτέρας.

ΕΞ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς *ἐγεννήθη σοφία ἡμῖν ἀπὸ θεοῦ, δικαιοσύνη τε, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις· ἵνα, καθὼς γέγραπται, ὁ καυχώμενος, ἐν κυρίῳ καυχάσθω.]

* ἐγενήθη

## Quod per Christi sanguinem redempti, Deoque reconciliati sumus.

*Ex priori ad Corinthios.*

E*X ipso autem vos estis in Christo Iesu, qui factus est nobis sapientia a Deo, & iustitia, & sanctificatio, & redemptio: vt (quemadmodum scriptum est) qui gloriatur, in Domino glorietur.* In Christo 1. Cor. c. 1. v. 30. Ierem. c. 9. v. 22.